ἀναμφίβολον, ἐὰν δὲ ὑπὸ ἀγαθοποιῶν, σωτηρίαν σημαίνει. βλέπε δὲ 5
καὶ ποῖος ἀστὴρ ἐποίησε τὴν νόσον ἤτοι τὸν πρὸ ὀλίγων ἡμερῶν τῆς
νόσου δυτικὸν γενόμενον ἢ ὕπαυγον τετραγωνίζοντα τὴν Σελήνην ἢ
διαμετροῦντα, καὶ βλέπε πότε τὸ σχῆμα ἀλλάσσει ἤτοι εἰς ἀνατολὴν
καὶ τὰ λοιπὰ σχήματα, καὶ τότε ὑγεία τῷ νοσοῦντι ἔσται.

| Τοῦ αὐτοῦ f. 236 v I

Περὶ μὲν ἀσθενειῶν ὁράσθωσάν σοι ὅ τε ὡροσκόπος καὶ ἡ Σελήνη 6
καὶ οἱ τούτων οἰκοδεσπόται καὶ τὰ δωδεκατημόρια αὐτῶν καὶ οἱ ἐφ-
ορῶντες ἀστέρες καὶ ἡ συναφὴ τῆς Σελήνης· ἐντεῦθεν γὰρ ὄψει πότερον
κινδυνώδης ἢ ὀλίγη καὶ ἐλαφρὰ ἔσται ἡ νόσος. οἱ μὲν γὰρ ἀγαθοποιοὶ 7
μόνοι ἐπιθεωροῦντες ταχεῖαν τὴν ἀπόλυσιν τῆς νόσου καὶ ἀκίνδυνον
σημαίνουσιν, ὁ δὲ Ἄρης θρασεῖαν καὶ τραχεῖαν καὶ σφαλεράν, ὁ δὲ Κρό-
νος χρονίαν καὶ ἐπικίνδυνον.

Καὶ ὁ μὲν ὡροσκόπος τῆς ἀσθενείας καὶ ὁ κύριος αὐτοῦ τὸ πνεῦμα 8
σημαίνει, ἡ δὲ Σελήνη τὸ σῶμα. ἐὰν οὖν ἡ Σελήνη κακωθῇ, τὸ σῶμα 9
ἱκανῶς βλαβήσεται, ἐὰν δὲ ὁ ὡροσκόπος ἢ ὁ κύριος αὐτοῦ, τὸ πνεῦμα,
ἐὰν δὲ ἀμφότεροι κακωθεῖεν καὶ ἀγαθοποιὸς μὴ ἐπιβλέπῃ, φανερὸς ὁ
κίνδυνος. ἐν ᾧ δ᾽ ἐστὶ ζῳδίῳ ὁ ὡροσκόπος ἢ ἡ Σελήνη ἢ τὰ διάμετρα 10
τούτων, περὶ τοῦτο ἡ ἀσθένεια γενήσεται, ἤτοι τὸ μέρος τοῦ σώματος,
ᾧ χρηματίζει τὸ ζῴδιον, κινδυνεύειν λέγεται.

Τὸ δὲ ἀρρωστεῖν ἐκ τῆς προειρημένης τῶν ἀστέρων θεωρίας γνω- 11
σθήσεται. αἱ γὰρ ἐπισημασίαι καὶ ἀνέσεις πρὸς τὸν τῆς Σελήνης χρη- 12
ματίζονται δρόμον· ὅθεν τριταίαν μὲν κρίσιν λαμβάνω κατὰ τὸ ζῴδιον
ἐξ οὗ μεθισταμένη ἡ Σελήνη πρὸς ἄλλο ζῴδιον ἔρχεται, τεταρταίαν δὲ
ἐπειδὰν ⟨εἰς⟩ τὸ ἑξάγωνον ἔρχηται τοῦ ζῳδίου ἀφ᾽ οὗ ἤρξατο, ἑβδο-